eul_wid: ecy-ab

*Ἑλληνικὰ Ἀνώνυμα* · Hellenica Anonymous

# Historical Fragments on Greek Affairs

*Ἱστορικὰ Ἀποσπάσματα περὶ Ἑλληνικῶν Πραγμάτων*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ἱστορία* History
**Format:** *Συναγωγή* Collection

2a,66,F 1 P. OX. 842: (I) Ὑπὸ δὲ τοὺ[ς αὐτοὺς χρόνο]υς ἐξέπλευσε τριήρης Ἀθήνηθεν [οὐ μετὰ τῆς τοῦ] δήμου γνώμης, ἰ[δίαι] δὲ Δημαίνετος ὁ κ .. ιοσαυτης (?) κοινωσάμενο[ς ἐν] ἀπορρήτωι τῆι βουλῆι, ὡς λέγεται, περὶ τοῦ πράγματος, ἐπειδὴ [σ]υνέ[στ]ησαν αὐτῶι τ[ῶν] πολιτῶν, συγκαταβὰς εἰς Πειραιᾶ καὶ καθ[ελκύσας] ναῦν ἐκ τῶν νεωσοίκων ἀναγόμεν[ος ἔπλει πρὸ]ς Κόνωνα. (2) θορύβου δὲ μετὰ ταῦτα γε[νομένου] καὶ τῶν Ἀθηναίων ἀγανακτούντω[ν ὅσοι γνώ]ριμοι καὶ χαρίεντες ἦσαν καὶ λεγ[όντων ὡς κατα]βα[λοῦ]σι τὴν πόλιν ἄρχοντες πολέ[μου πρὸς Λακ]εδαιμονίους, καταπλαγέντες οἱ β[ουλευταὶ τὸ]ν θόρυβον συνήγαγον τὸν δῆμον οὐδὲν προσποιούμενοι μετεσχηκέναι τοῦ πράγματος. συνεληλυθότος δὲ τοῦ πλήθους ἀνιστάμενοι τῶν Ἀθηναίων οἵ τε περὶ Θρασύβουλον καὶ Αἴσιμον καὶ Ἄνυτον ἐδίδασκον αὐτοὺς ὅτι μέγαν ἀροῦνται κίνδυνον εἰ μὴ τὴν πόλιν ἀπολύσουσι τῆς αἰτίας. (3) τῶν δὲ Ἀθηναίων οἱ μὲν ἐπ[ι]εικεῖς καὶ τὰς οὐσίας ἔχοντες ἔστεργον τὰ παρόντα, οἱ δὲ πολλοὶ καὶ δημοτικοὶ τότε μὲν φοβηθέντες ἐπείσθησαν τοῖς συμβουλεύουσι· καὶ πέμψαντες πρὸς Μίλωνα τὸν ἁρμοστὴν τὸν Αἰγίνης εἶπον ὅπως δύναται τιμωρεῖσθαι τὸν Δημαίνετον, ὡς οὐ μετὰ τῆς πόλεως ταῦτα πεποιηκότα. ἔμπροσθεν δὲ σχεδὸν ἅπαντα τὸν χρόνον ἐτάραττον τ[ὰ πράγ]ματα καὶ πολλὰ τοῖς Λακεδαιμονίοις ἀ[ντέπρα]ττον. (II) ἀπέπεμπον μὲν γὰρ ὅπλα τε καὶ ὑπηρεσίας ἐπὶ τὰς ναῦς τὰς μετὰ τοῦ Κ[όνωνος, ἐπέμ]φθησαν δὲ πρέσβεις ὡς βασιλέα π[ ..... οἱ περὶ . ]π[ . ]κράτη τε καὶ Ἁγνίαν καὶ Τελεσήγορον, οὓς καὶ συλλαβὼν Φάραξ ὁ πρότερον ναύαρχος ἀπέστειλε πρὸς τοὺς Λακεδαιμονίους, οἳ ἀπέκτειναν αὐτούς. (2) ἠναντιοῦντο δὲ ταῦτα παροξυνόντων τῶν περὶ τὸν Ἐπικράτη καὶ Κέφαλον· οὗτοι γὰρ ἔτυχον ἐπιθυμοῦντες μάλιστα 〈ἐκπολεμῶσαι〉 τὴν πόλιν, καὶ ταύτην 〈τὴν γνώμην〉 ἔσχον οὐκ ἐπειδὴ Τιμοκράτει διελέχθησαν καὶ τὸ || χρυσίον [ἔλαβον, ἀλλ' ἤδη πολὺ] πρότερον. καίτοι τινὲς λέγ[ουσιν αἴτια γενέσθ]αι τὰ παρ' ἐκείνου χρήματα τ[οῦ σ]υ[στῆναι τούτους καὶ] τοὺς ἐν Βοιωτοῖς καὶ τοὺς ἐ[ν τ]α[ῖς ἄλλαις πόλεσι τ]αῖς προειρημέναις, οὐκ εἰδότες ὅτι π[ᾶσιν αὐτοῖς συ]νεβεβήκει πάλαι δυσμενῶς ἔχειν [πρὸς Λακεδαιμο]νίους καὶ σκοπεῖν ὅπως ἐκπολεμώ[σουσι] τ[ὰς πόλει]ς. ἐμίσουν γὰρ οἱ μὲν Ἀργεῖοι καὶ Βοιωτ[ ...... ]γωται τοὺς Λακεδαιμονίους ὅτι τοῖς ἐναντίοις τῶν πολιτῶν αὐτοῖς ἐχρῶντο φίλοις, οἱ δ' ἐν ταῖς Ἀθήναις ἐπιθυμοῦντες ἀπαλλάξαι τοὺς Ἀθηναίους τῆς ἡσυχίας καὶ τῆς εἰρήνης καὶ προαγαγεῖν ἐπὶ τὸ πολεμεῖν καὶ πολυπραγμονεῖν, ἵν' αὐτοῖς ἐκ τῶν κοινῶν ᾖ χρηματίζεσθαι. (3) τῶν δὲ Κορινθίων οἱ μεταστῆσαι τὰ πράγματα ζητοῦντες οἱ μὲν ἄλλοι 〈παραπλησίως〉 τοῖς Ἀργείοις καὶ τοῖς Βοιωτοῖς ἔτυχον δυσμενῶς διακείμενοι πρὸς τοὺς

Λακεδαιμονίους, Τιμόλαος δὲ μόνος αὐτοῖς διάφορος γεγονὼς ἰδίων ἐγκλημάτων ἕνεκα, πρότερον ἄριστα διακείμενος καὶ μάλιστα λακωνίζων, ὡς ἔξεστι καταμαθεῖν ἐκ τῶν κατὰ τὸν πόλεμον συμβάντων τὸν Δεκελεικόν. (4) ἐκεῖνος γὰρ ὁτὲ μὲν πενταναίαν ἔχων ἐπόρθησε τῶν νήσων τινὰς τῶν ἐπ' Ἀθηναίοις οὐσῶν, ὁτὲ δὲ μετὰ δύο (?) τριήρων εἰς Ἀμφίπολιν καταπλεύσας καὶ παρ' ἐκείνων ἑτέρας τέτταρας συμπληρωσάμ[ενος ἐνίκη]σε Σί 〈μι〉 χον ναυμαχῶν τὸν στρατηγὸν [τῶν Ἀθηνα]ίων, ὥσπερ εἴρηκά που καὶ πρότερον, κ[αὶ τριήρε]ις τὰς πολεμίας ἔλαβεν οὔσας πέντε κ[αὶ ναῦς ἃς ἔ]πεμψαν τριά[κοντ]α· μετὰ δὲ ταῦτα [τὰς ἕνδεκα] ἔχων τριήρ[εις] καταπλεύσας εἰς Θάσον ἀπέστησε ταύτην τῶν Ἀθηναίων. (5) οἱ μὲν οὖν ἐν ταῖς πόλεσι ταῖς προειρημέναις διὰ ταῦτα πολὺ μᾶλλον ἢ διὰ Φαρνάβαζον καὶ τὸ χρυσίον ἐπηρμένοι μισεῖν ἦσαν τοὺς Λακεδαιμονίους.

(III) ὁ δὲ Μίλων ὁ τῆς Αἰγίνης ἁρμοστὴς ὡς ἤκουσε τὰ παρὰ τῶν Ἀθηναίων συμπληρωσάμενος τριήρη διὰ ταχέων ἐδίωκε τὸν Δημαίνετον. ὁ δὲ κατὰ τοῦτον τὸν χρόνον ἔτυχε μὲν ὢν περὶ Θορικὸν τῆς Ἀττικῆς. (2) ἐπειδὴ δὲ προσπλεύσας ἐκεῖνος πρὸ[ς || ...... ] ἐπεχείρη[σεν ...... ]εῖν, ὥρμησεν ἐπὶ πολυ[ ... πλ]εῖν· κρατήσ[ας δὲ ... ν]εὼς αὐτῶν τὴν μὲν ὑ[φ' αὑτῶι] ναῦν, ὅτι χε[ῖρον ἦν τὸ σκ]άφος, αὐτοῦ κατέλιπεν, [εἰς δὲ] τὴν ἐκείν[ων μεταβιβ]άσας τοὺς αὐτοῦ ναύ[τας πρ]οέπλευσεν [ἐπὶ τὸ στρά]τευμα τὸ μετὰ τοῦ [Κόνωνος .......... ὁ δὲ Μίλ]ων εἰς Αἴγιναν με[τὰ ...... ............ ]. (IV) τὰ μ]ὲν οὖν ἁδρότατα τῶν [ .................. ἔτε]ι τούτωι συμβάντων [οὕτως ἐγένετο· ἀρχομένου] δὲ τοῦ θέρους (395) τῆι μὲν [ ... .................... ] ἔτος ὄγδοον ἐνειστήκει [ ...................... ] αρος τὰς τριήρεις απα[ .................... ἐ]κεῖ δὲ καταπλεύσας τὰς ...................... ]εν, ἔτυχεν γὰρ αἰεὶ του[ ................. κατεσ]κευακὼς ἦν νεώρια [ ...................... ]ς ὅπου συνέπιπτεν [ .... .................. ] τὸν δὲ Φαρνάβαζον ἀ[κούσας ................ ] παραγενέσθαι βουλό[μενος ................ ]αι καὶ μισθὸν ἀπολα[βεῖν ..... ....... (2) ...... α]ρος μὲν οὖν αὐτοῦ διέ[τριβεν, ἐπὶ δὲ τὰς ναῦς τῶν Λακ]εδαιμονίων καὶ τῶν [συμμάχων ἀφικνεῖται Πόλλις] ναύαρχος ἐκ Λακε[δαίμονος εἰς τὴν ναυαρχίαν τὴ]ν Ἀρχελαΐδα κατα[στὰς διάδοχος. κατὰ δὲ τὸν αὐ]τὸν χρόνον Φοινίκων [ ............. ἐνενήκοντ]α νῆες εἰς Καῦνον, ὧν [δέκα μὲν ἔπλευσαν ἀπὸ Κιλι]κίας, αἱ δὲ λείπουσαι [ ....................... ], ἃς Ἄκτων ὁ Σιδώνιος [ ................... βασ]ιλεῖ τοῖς ταύτης τῆς [ ..................... πε]ρὶ τὴν ναυαρχίαν Φαρ[νάβαζος ....... παροξυνό]ντων αὐτὸν τῶν παρα[ .......... ὁ μὲν οὖν .... ] . αρος τὰ περὶ τὴν ἀρχὴν [ ............ τὸ στρατό]πεδον. (3) Κόνων δὲ προσ[πλέοντας τοὺς πολεμίους αἰ]σθόμενος ἀναλαβὼν [τοὺς στρατιώτας καὶ συμ]πληρώσας τὰς τριήρεις [ἀνήγαγεν αὐτὰς καὶ ὡς τάχι]στα ποταμὸν τὸν Καύ[νιον καλούμενον εἰς λίμνη]ν τὴν Καυνίαν εἰσέπλευ[σε. παρασκευαζομένου δὲ το]ῦ Φαρναβάζου καὶ τοῦ Κό[νωνος πρὸς ναυμαχίαν, Ἀρταφέ]ρνη[ς] ἀνὴρ Πέρσης πα[ραγενόμενος ἀντελαμβάνετο] τῶν πραγμάτων, ὃς [ .................... ἠβ]ούλετο λαβεῖν κατα[ ............. ] . ν δὲ πρ[ . ] . [ ... ]ν[ . ]με[ .. ] υ φιλ [ί]αν [ ............ ] . ος ἀπέπεμψεν ὡς βασιλέ α ς [ ... ]α[ ........... τ]ὴν σκηνὴν αὐτοῦ λ[ ...... ] ηλθ [ε .. ]ν[ .......... .. ἀ]παγγείλας δὲ τὰ π[ ..... ] εασα [ .. ]υ || — Τι]σσαφ[ερν——]αμο[—— Τισσα]φερ[ν —— —]μιωσ[——]γὰρ πρ[——]δον κ[——]ιαζοι[——]ιετ[— —]ς τυρα[νν——]απασι[—— αντατ[——] . μων[——]ωμενω[——] μετευ[——] . υον δεκαι[——] ... αρχε[λαιδ——] . ποσου[——]τουμ[— —]σθεν[——] . ωνα[——]αφυ[ —]τον δ[——] . ων ετ . [——]το τας π[——]ων αλλ[——]νορων[——] λυσαν[——] . ουντα[——]ατατην[——]ηνειωθ[——]οικαιον[——] σαρχελ[αιδ——] . αλμε (V). [———] . [——]α[——]φε[——]α . [——]π[——]β . [——]τα [ .. ]τα[——]ποντα[——]αρχ[ο]ντ[——]κους ιστ[——]σιν τὰς μ[——][ . ]ωσιν πρ[——] [ .. ]τεκελ[——]νων οὐδ[——]εχοντες [——] εἶχον γὰ[ρ—— *** (VI) ——] εἰσὶν δὲ κα[ ... ——τῶ]ν ἱππέων [ ... ——] ἔνιοι δὲ πρ[ ... ——προά]στιον (?). ἡ μὲν [οὖν ——] τοιαύτη κ[ .. ]ι[ . ——]ις. (2) Ἀγησίλα[ος] δὲ [ἀρχομένου τοῦ θέρους ἐξαγαγὼν τὸ] στρατόπεδον [——τὸ]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κα[ύσ]τρι [ον πεδίον ——] τὰ ὄρη ταξάμε [νος (?) ——]ους, ταύτηι πάλιν [——]ης τοιαύτηι φθά [σας ——]ς τὸ στρατόπεδον [——]ειν. (3) Τισσαφέρ[ν]ης [δὲ —— ἐπηκο]λούθει τοῖς Ἕλλησιν [ἀθροίσας —— ἱππέας μὲν ... α]κισχιλίους κα[ὶ] μυ [ρίους, πεζοὺς δὲ ....... μυρίων ο]ὐκ ἐλάττους. [Ἀγησίλαος δὲ .............. ἡγη]σάμενος χαλε [πὸν προσβάλλοντας τοὺς πολεμίο]υς ἐκ παρατά [ξεως ἀμύνεσθαι πολὺ τῶν Ἑλλήνων ὑ]περέχοντας [ἔταξεν ἐν πλινθίωι τὸ στράτευμα .. ]λως καὶ κρα [τ——] στρατηγίας [——]σαντα μάχεσθαι [——]ων στράτευμα [——]σας, οἱ δὲ βάρβα [ροι ——]ες καὶ συντετα [γμέν——] ἔχοντες τοσου [τ—— δ]υνατὸς ἀφορμᾶν [——κα]τεῖδον τοὺς Ἕλλη [νας —— ο]ὔτε τὴν πορεὶαν [——] καταφρονεῖν [——]ντες αὐτοὺς [——] τοῦ στρατεύ [ματος ——] προσβαλον [τ—— ἔξ]ωθεν τοῦ πλιν [θίου ——]ον προσέτατ [τε ——] τοὺς δὲ Πελοπον [νησίους καὶ τοὺς συμμάχους δρόμω]ι προσῆγε πο [——] . ωρα τοὺς Ἕλλη [νας ——]λεον α[ .. ]ων ἀεὶ [—— ὁ]μοίως ε[ .. ]διε [——]ν ἐγγυτέρωι μᾶλ λο[ν —— οὐ]δὲν ἀλλ’ ἢ τὸν ποτ[αμὸν ——] γὰρ ἀμφοτερ[ .. ] ηγ[——]ετ[ . ]προιον[τ .. ] δε[—— ὀ]λιγ[ ... ]σ[ ..... ]ει[—— στρα]τευμ[α ....... ] τε[——]αν[ .... ] . , Ἀ]γησί] λα[ος δὲ ——] . υ[ ... ] τ[—— στρ]ατ[ε]υμα[ ... ——]ιπονο[ ... ] ——π]αρασκευα[ .. ] ——ίους ἵνα τῆι ν . [ ... ] [——] κα]τα[ν]έμουσι [ .... ] κα[——]ωνην πολλ[ .. ] . α[——] βουλευσομ[εν .. ] π . [——]ν τὸν ενια . [ ... ] οι . [——]νοιτινεια [ ... ] ε . [——]υς ἔγνω κα . [ .. ] ο . [—(4)—] . των τῆς νυκτ[ὸς] . ι[——] ὁπλίτας [ .... ] || τακοσίους δὲ ψιλούς, καὶ το[ύτοις ἐπέστησεν ἄρχοντα] Ξενοκλέα Σπαρτιάτην, π[αραγγείλας ὅταν γένωνται] βαδίζοντες κατ’ αὐτοὺς [οἱ τελευταῖοι τῆς στρατιᾶς] εἰς μάχην τ[άττ]εσθαι. [εἰς δὲ τὴν ἐπιοῦσαν .... ]κ[ .. ] ἀναστήσας ἅ[μα τῆι ἡμ]έρα[ι τ]ὸ [στ]ρά[τε]υ[μα πάλιν] ἀνῆγεν εἰς τὸ πρ[όσθεν. οἱ] δὲ βάρβαροι συνα[κολουθήσ]αντες ὡς εἰώθεσαν οἱ μὲν αὐτῶν προσέβαλλον τοῖς Ἕλλησιν, οἱ δὲ πε[ριίππε]υον αὐτούς, οἱ δὲ κατὰ τὸ πεδίον ἀτάκτ[ως ἐπ]ηκολούθουν. (5) ὁ δὲ Ξενοκλῆς, ἐπειδὴ καιρ[ὸν ὑπ]έλαβεν εἶναι τοῖς πολεμίοις ἐπιχειρεῖν, ἀνα[στήσ]ας ἐκ τῆς ἐνέδρας τοὺς Πελοποννησίους ἔθ[ει δρ]όμωι. τῶν δὲ βαρβάρων ὡς εἶδον ἕκαστοι προσθέοντας τοὺς Ἕλληνας ἔφευγον καθ’ ἅπαν τὸ πεδίον. Ἀγησίλαος δὲ κατιδὼν πεφοβημένους αὐτοὺς ἔπεμπεν ἀπὸ τοῦ στρατεύματος τούς τε κούφους τῶν στρατιωτῶν καὶ τοὺς ἱππέας διώξοντας ἐκείνους. οἱ δὲ μετὰ τῶν ἐκ τῆς ἐνέδρας ἀναστάντων ἐνέκειντο τῶ〈ι πλήθει τῶ〉ν βαρβάρων. (6) ἐπακολουθήσ〈α〉ντες δὲ τοῖς πολεμίοις οὐ λίαν πολὺν χρόνον—οὐ γὰρ [ἠδύ]ναντο καταλαμβάνειν αὐτοὺς ἅτε τ[ῶ]ν πολλῶν [ἱππ]έων ὄντων καὶ γυμνήτων—καταβάλλουσιν μὲν [αὐ]τῶν περὶ ἑξακοσίους· ἀποστάντες δὲ τῆς διώξεως ἐβάδιζον ἐπ’ αὐτὸ τὸ στρατόπεδον τὸ τῶν βα[ρβάρ]ων. [κα]ταλαβόντες δὲ φυλακὴν οὐ σπουδαί[ως κ]αθε[στῶ]σαν ταχέως αἱροῦσιν, καὶ λαμβάνουσιν αὐτῶν [πολ]λὴν μὲν ἀγοράν, συχνο[ὺς] δὲ ἀνθρώπους, πολλ[ὰ δὲ] σκεύη καὶ χρήματα 〈τὰ〉 μὲν [τῶ]ν ἄλλων τὰ δὲ Τισσαφέ[ρνους] αὐτοῦ. (VII) γενομένης δὲ τῆς μάχης τοιαύτης οἱ μὲν βάρβαροι καταπλαγέντες [τοὺς] Ἕλληνας ἀπεχώρησ[αν σὺν] τῶι Τισσαφέρνει πρὸς τὰς Σάρδεις, Ἀγησίλαος δὲ περ[ιμε]ίνας αὐτοῦ τρεῖς ἡμέρας, ἐν αἷς τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδωκεν τοῖς πολεμίοις καὶ τρόπαιον ἔστησε καὶ τὴν γῆν ἅπασαν ἐ[πόρθ]ησεν, προῆγεν τὸ στρ[άτε]υμα εἰς Φρυγίαν πάλιν [τὴν] μεγάλην. (2) ἐποιεῖτο δὲ τὴν πορείαν οὐκέτι συντεταγμένους ἔχων ἐν τῶι πλινθίωι τοὺς στρατιώτας, ἀλλ’ ἐῶν αὐτοὺς ὅσην ἠβούλοντο τῆς χώρας ἐπιέναι καὶ κακῶς ποιε[ῖν τοὺς] πολεμίους. Τισσαφέρνης δὲ πυθόμενος τοὺς Ἕ[λληνας β]αδίζειν εἰς τὸ πρόσθε〈ν〉 ἀναλαβὼν αὖθις τοὺς β[αρβάρους ἐ]πη[κολο]ύθει

2a,66,F 1 (150) ὄπισθεν αὐτῶν πολλοὺς σταδίο[υς διέχων. (3) Ἀγ]ησίλαος δὲ διεξελθ[ὼν] τὸ πεδίον τὸ τῶν Λυδῶν [ἦγε τὴν στρ]ατιὰν [ἀσφαλῶς] διὰ τῶν ὀρῶν τῶν διὰ μέσου κε[ιμένων τῆς] τε [Λυδίας] καὶ τῆς Φρυγίας. ἐπειδὴ δὲ διεπορ[εύθησαν ταῦτα κατεβίβ]ασε τοὺς Ἕλληνας εἰς τὴν Φ[ρυγίαν ἕως ἀφίκοντο πρὸς τ]ὸν Μαίανδρον ποταμόν, ὃ[ς τὰς μὲν πηγὰς ἔχει ἀπὸ Κελαι]νῶν, ἣ τῶν ἐν Φρυγίαι μεγίστη [πόλις ἐστίν, ἐκδίδωσι δ’] εἰς θάλασσαν παρὰ Πριήνην κ[αὶ ......... (4)

καταστρα]τοπεδεύσας δὲ τοὺς Πελοπ[οννησίους καὶ τοὺς] συμμάχους ἐθύετο πότ[ερ]α χ[ρὴ] δ[ι]αβ[αίνειν τὸν ποτα]μὸν ἢ μή, καὶ βαδίζειν ἐπὶ Κελα[ινὰς ἢ πάλιν τ]οὺς στρατιώτας ἀπάγειν. ὡς δὲ συνέβ[αινεν αὐτῶι] μὴ γίνεσθαι καλὰ τὰ ἱερά, περιμε[ί]να[ς ἐκεῖ τήν τ]ε ἡμέραν ἧν παρεγένετο καὶ τὴν ἐπιο[ῦσαν ἀπῆγ]εν τὸν || [στρατὸν —— Ἀγησί]λαος μὲν οὖ[ν ... .......... τὸ πεδίον τὸ Μαιάν]δρου καλούμενο[ν] δ [ ........................ ] . νέμονται Λυδ[οὶ] κ[αὶ ...................... .... ] (VIII) [ὁ] δὲ βασιλεὺς . [—— π]ερὶ τούτους τ[—— στρ]ατηγὸν ἅμα δὲ [——] . Τισσαφέρνηι ἐτ[—— το]ὺς Ἕλληνας οι[——]νον καὶ μᾶλ λο[ν ——] . δίχα κει με[ν——] εξ[——] συ[ ............ Τισσ]αφ[έρν—] οπ[ ........... Ἀρταξ]έρξ[—] δια[ ................ ] απαρ[—] λο[ ........... ]κα[ .. ]οιτε[ ..... ] . σα[ .......... ] οργ [ .......... ] αὐτῶι κατηγ[ . ] . α[ . ]αδι[ .......... ] σα[ ... ]τε βασιλεὺς ὁμολογουντ[ .. ] μάλιστ[α ........ ] δι[ὰ Τισ]σαφέρνην καὶ πα[ . ]ων ἐκεῖνον [ ..... ....... ] πάντων καθ' ἃ Τιθρα[ύστης α]ὐτὸν κα[ . ]ελ[ ......... ] ὃς ἐπειδὴ καταφ[ ..... Φρυ]γίαν καὶ Λυδ[ίαν ........ ] το[ .... ]εν ἀνέπεμψ[εν ἐπιστ]ολὰς ἃς ἔφερ[ε ......... ] ρα[ ...... ]ι πρὸς Ἀρι[αῖον καὶ Τι]σσαφ[έ]ρνη [ ...... .... ] ἐπ[ ..... ]ο πρὸς Με . [ .. ]αιον ὡς α . [ ............. ] στ . [ .... ] λαβεῖν ἐκεν[ ... ]αιδ[ ................. ] ευ[ ........ ]υτου γε[ ... ]ται[ ........... ....... ] πε[ ....... ] νουτο[ ...... ]ου[ ................. ] λω[ ....... ] . ν ἔ[μ]ελλεν ηχ[ ................ ] σιν[ .......... Τ]ιθραύσ[τ ................ .. ] τα . [ ............ ]τ[ .................... ]δὲ δο . [——]της ἀποκρε [——]ν[ .. ] ρίζεσθ[αι ——] ὁπότε α[—— Τισσα] φέρνη[ν ἀ]πέστειλεν τ[ ........ ]ο αρ[ ............ ]ο Ἀρ[ι]α[ῖ]ος εἰς Σάρδεις το[ ......... ] ονου [ ....... δυ] νατὸς Τισσαφέρνη [ ......... ] . ρια . [ .......... ] βέλτιστοι τῶν στρ[ατη]γῶ[ν .. ] . ιανετε . [ .... ἀκιν] δυν[ότ]ερον ἕξειν τ[ὰ κ]ατὰ τὴ[ν] σα[τ]ραπία[ν Ἀγησιλά]ου κα[θ]ημένου περὶ [τ]ὴν Μαγν[η]σ[ί]αν ἐμι[ ...... .. ] τῶν [πε]ζῶ[ν] καὶ τῶν ἱππέω[ν ... ]ω προ[ ......... ] ε[ ... ]ον δ[ια]κειμένου [—— ἄλ] λ[ο]υς ἄλληι ποι[ .. ] . αν[——] βουλόμενος δ[ .. ]π[ . ] . [——] στρατευματα [——] || [——] [——] [ .... ]ν [——] [ ... ] προ[——] π' Ἀρταξ[έρξ——] τα ἡμέρα[ς ——] αὐτὸν ἀ[—— Φρυ-] γίας ἐπια[——] τὸν Τιθρ[αύστην —— Τισσα] φέρνης [——] πρᾶξιν α[—— οἰ] κοδομε[ῖν ——] πόλεως . [——] ὑπὸ τῶν [——] . εβαδ[ι——] τῶ 〈ι〉 Τιθρα[ύστηι ——] σ[ . ]αι παρα[——] ἐπιστολὰ[ς ——] πρὸς τὴν α[——] τιας κατα . [——] . ε Μ ⟦ ε ⟧ ιλη[σι——] ψας καὶ τα . [——κα] τῆρεν εἰς [——] Ἀριαῖον ε[—— με] τὰ δὲ ταῦ[τα ——] διατρίβω[ν ——] ἱμάτια τ[——] νον συναρ[πα——] καὶ μεταπ[——] [ .. ]λοι . νιπ[π——] συνεχ[——] μεν . [——] τησδ[——] ἔλεγ[ε——] τ[ο]ῦ βα[σιλ]έως [——] τα[ῖ]ς ἐπιστολ[αῖς ——] .. ]ε τὸ βυβλ[ίον ——] [ .. ]ττεν βασιλ[ε——] [ .. ] αὐτὸν ἀνα[——] [ .. ] ... εινεκ . [——] [ἄ]λλην ἀναγ[—— τῶ]ν βαρβάρω[ν ——] || es fehlen eine oder mehrere columnen. (IX) [—— 15 zeilen fehlen] —]να[— —]καγα[— —]λεμον[— —] . ισωτη [— —]λληναυ || [— —]λει[— —]μφε[— —]τατον [— —]κοσι[—] || [—]κ'

2a,66,F 1 (200) [——]αρανγι [——]καταμα [——]υπαραλα [——] Μακεδο || —]ασ[— —]κα[ . ]ων[— —]αρεικο[— —]ον βασιλ[— —]σα . φο[——]τρατο[— μ[ . ] . [ —] . χρωμ[— —] .. [ . ]κα νοτη[ . ] . ασ[——] ἅμα μὲν [ . ]ου . [——] ἀφθό[ν]ω[ς .. ]ς . [—— ἅ] μα δὲ [ . ]ενεστ[——] ἐπὶ τη .. ιματ[——] ηιρημένον ὑπαρξο[——] δι' ἐκειν[ ... ]ητ[ . ]ς . [——] [ . ]αλωνω . [—— τ]ερον πω[——] καὶ βιαζ . [——] χρόνον μ[——] πολλῆς δυνα [——] ὁμοί[ . ]ν α . [ . ]οι[ . ]α[——] κως [ . ]ην . [ . ] . ε[——] μασενηγε[——] . τερους ελ[ . ]η[——] ἢ τοὺ[ς] ἐκ τ[ο]ῦ π[ . ]λ[ .... ] γιγνομ[ένους ——] νος δὲ τὴν [ . ] . [ . ]χ[ί]αν ἄριστα τ[——] κεχρημέν[ος], οὐ γὰρ ὥσπερ ο[ἱ .......... τῶν δυ] ναστευόντω[ν] ὥρμησεν . [——] γας καὶ δη[μο]τικωτ . [ . ] . στ[——] μεταπεμπό[μ]ενος εκ[——] κέναι τι δοκ[ο]ῦντας δ[——] τῶν πλείσ[τω]ν χ[—— .... ] . [ .. ]ε[ ... ]τ[——] ** [ . ]ωσ[——] ηλωσεν[——] δοξαν[——Λα-] κεδα[ιμον ——] των[——] πασα[——] των[——] ** (etwa 8 zeilen fehlen) ** ]ην[— —] καὶ δει[— —] . [ . ]υτω[— —] .. μι[— —]ατεδ[— —] . [ . ]ελ[— —]εοτ[— —]ανεκε[— —τῶν] ἄλλων βαρβάρω[ν — —] . [ . ] ἀλλὰ τὴν με[— —] . [ . ]του δὲ βίον . ιρ . [ . ]τ[— —]ς περὶ πολλὴν στ ... ς [— —κα]τήγαγεν ἀντὶ ὧν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ηγα[— —]ς ἐποίησε κατακει[— — πο]λλαῖς κατασκευα[— —] περὶ δὲ τὴν του [—— ** ] ... [—— —] . δὲ προστ[— —]ων εἰλη[— —] . τελευ[τ— —]των παρ' ἐκειν[— —]αθα περιμε . [— —]ν επιτα[— —]ιλαθε[—— ** θ . [— —]υτον[— —]εν αὐτ[— —]αιραῖσθ[αι— —] . [ ..... ]τ[—— ** ]ων[— —]ιακα[— —]τιτ[— —]τιδα[—— ** ]μ[— —]σε[ . ]ιο [— —]ας πολ[— —] . [—— eine oder mehrere columnen fehlen. (X) ..... ]ς βο[ .......................... ] . καθ' ἑκά[στην] ἡμέραν ἐξήτ[αζε τοὺς στρατιώτας] σὺν τοῖς ὅ[πλοις] ἐν τῶι λιμέν[ι, προφασιζόμενος μὲ]ν ἵνα μὴ ῥαι[θυμο]ῦντες χείρους [γένωνται πρὸς τὸν] πόλεμον, βου[λόμε]νος δὲ παρασκε[υάζειν προθύμους] τοὺς Ῥοδίους [ἐὰν ἴ]δωσιν ἐν τοῖς ὅ[πλοις αὐτοὺς ὄν]τας τηνικαῦ[τα τοῖ]ς ἔργοις ἐπιχειρε[ῖν. ὡς δὲ σύνηθες ἅ]πασιν ἐποί[ησεν] ὁρᾶν τὸν ἐξετα[σμόν, αὐτὸς μὲν εἴ]κοσι λαβὼν [τῶν] τριήρων ἐξέπλευ[σεν εἰς Καῦνον, βου]λόμενος [μὴ π]αρεῖναι τῆι διαφθο[ρᾶι τῶν Διαγορείω]ν, Ἱερωνύμωι [δὲ κ]αὶ Νικοφήμωι προσέ[ταξεν ἐπιμελ]ηθῆναι τῶν [πρα]γμάτων οὖσιν αὐτοῦ πα[ρέδροις. (2) οἱ π]εριμείναν[τες] ἐκείνην τὴν ἡμέραν, π[αρόντων ἐπὶ] τὸν ἐξετασμὸν τῆι ὑστεραίαι τῶν στρατι[ωτῶν, καθά]περ εἰώθεσαν, τοὺς μὲν αὐτῶν παρήγα[γον ἐν τοῖ]ς ὅπλοις εἰς τὸν λιμένα, τοὺς δὲ μικρὸν [ἔξωθε τῆ]ς ἀγορᾶς. τῶν δὲ Ῥοδίων οἱ συνειδότες τὴν π[ρᾶξιν, ὡ]ς ὑπέλαβον καιρὸν ἐγχειρεῖν εἶναι τοῖς ἔργ[οις, συ]νελέγοντο [σὺ]ν ἐγχειριδίοις εἰς τὴν ἀγοράν, καὶ Δωρίμαχος [μ]ὲν αὐτῶν ἀναβὰς ἐπὶ τὸν λίθον, οὗπερ εἰώθει κηρύττειν ὁ κῆρυξ, ἀνακραγὼν ὡς ἠδύνατο μέγιστον 'ἴωμεν, ὦ ἄνδρεσ' ἔφη 'πολῖται, ἐπὶ τοὺς τυράννους τὴν ταχίστην.' οἱ δὲ λοιποὶ βοήσαντος ἐκείνου τὴν βοήθειαν εἰσπηδήσαντες μετ' ἐγχειριδίων εἰς τὰ συνέδρια τῶν ἀρχόντων ἀποκτείνουσι τούς τε Διαγο[ρε]ίους καὶ τῶν ἄλλων πολιτῶν ἕνδεκα. διαπραξάμενοι δὲ ταῦτα συνῆγον τὸ πλῆθος τὸ τῶν Ῥοδίων εἰς ἐκκλησίαν. (3) ἄρτι δὲ συνειλεγμένων αὐτῶν Κόνων ἧκε πάλιν ἐκ Καύνου μετὰ τῶν τριήρων. (4) οἱ δὲ τὴν σφαγὴν ἐξεργασάμενοι καταλύσαντες τὴν παροῦσαν πολιτείαν κατέστησαν δημοκρατίαν καὶ τῶν πολιτῶν τινας ὀλίγους φυγάδας ἐποίησαν. ἡ μὲν οὖν ἐπανάστασις ἡ περὶ

2a,66,F 1 (250) τὴν Ῥόδον τοῦτο τὸ τέλος ἔλαβεν. (XI) Βοιωτοὶ δὲ καὶ Φωκεῖς τούτου τοῦ θέρους εἰς πόλεμον κατέστησαν. ἐγένοντο δὲ τῆς ἔχθρας αὐτοῖς αἴτιοι μάλιστα τῶν ἐν ταῖς Θήβαις τινές· οὐ γὰρ πολλοῖς ἔτεσιν πρότερον ἔτυχον εἰς στασιασμὸν οἱ Βοιωτοὶ προελθόντες. (2) εἶχεν δὲ τὰ πράγματα τότε κατὰ τὴν Βοιωτίαν οὕτως· ἦσαν καθεστηκυῖαι βουλαὶ τό||τε τέττα[ρες παρ' ἑ]κάστηι τῶν πόλεων, ὧν οὐ[χ ἅπασι] τοῖς πολ[ίταις ἐξῆ]ν μετέχειν, ἀ[λλὰ] τοῖς κεκ[τημένοις] πλῆθός τ[ι χρημά]των· τούτων δὲ τῶν βουλῶ[ν κατὰ] μέρος ἑκάσ[τη προκ]αθημένη (?) καὶ προβουλεύ[ουσα] περὶ τῶν π[ραγμά]των εἰσέφερεν εἰς τὰς τρε[ῖς· ὅ τι] δ' ἔδοξεν ἐν ἁπάσαις τοῦτο κύριον ἐγίνετο. (3) κ[αὶ τὰ μὲν] ἴδια διετέλουν οὕτω διοικούμενοι, τὸ δὲ τῶ[ν Βοι]ωτῶν τοῦτον ἦν τὸν τρόπον συντεταγμένον. [καθ' ἕν]δεκα μέρη διῄρηντο πάντες οἱ τὴν χώραν οἰκοῦντες, καὶ τούτων ἕκαστον ἕνα παρείχετο βοιωτάρχην [οὕτω·] Θηβαῖοι μὲν τέτταρα 〈σ〉 συνεβάλλοντο, δύο μὲν ὑπὲ[ρ τῆς] πόλεως, δύο δὲ ὑπὲρ Πλαταιέων καὶ Σκώλου καὶ Ἐρ[υ]θρῶ[ν] καὶ Σκαφῶν καὶ τῶν ἄλλων χωρίων τῶν πρότερον μὲν ἐκείνοις συμπολιτευομένων τότε δὲ συντελούντων εἰς τὰς Θήβας. δύο δὲ παρείχοντο βοιωτάρχας Ὀρχομένιοι καὶ Ὑσιαῖοι, δύο δὲ Θεσπιεῖς σὺν Εὐτρήσει καὶ Θίσβαις, ἕνα δὲ Ταναγραῖοι, καὶ πάλιν ἕτερον Ἁλιάρτιοι καὶ Λεβαδεῖς καὶ Κορωνεῖς, ὃν ἔπεμπε κατὰ μέρος ἑκάστη τῶν πόλεων· τὸν αὐτὸν δὲ τρόπον ἐβάδιζεν ἐξ Ἀκραιφνίου καὶ Κωπῶν καὶ Χαιρωνείας. (4) οὕτω μὲν οὖν ἔφερε τὰ μέρη τοὺς ἄρχοντας· παρείχετο δὲ καὶ βουλευτὰς ἑξήκοντα κατὰ τὸν βοιωτάρχην, καὶ τούτοις αὐτοὶ τὰ καθ' ἡμέραν ἀνήλισκον. ἐπετέτακτο δὲ καὶ στρατιὰ ἑκάστωι μέρει περὶ χιλίους μὲν ὁπλίτας, ἱππέας δὲ ἑκατόν. ἁπλῶς δὲ δηλῶσαι κατὰ τὸν ἄρχοντα καὶ τῶν κοινῶν ἀπέλαυον καὶ τὰς εἰσφορὰς ἐποιοῦντο καὶ δικα〈στὰ〉ς ἔπεμπον καὶ μετεῖχον ἁπάντων ὁμοίως καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν. τὸ μὲν οὖν ἔθνος ὅλον οὕτως ἐπολιτεύετο, καὶ τὰ συνέδρια ⟦ καὶ ⟧ τὰ κοινὰ τῶν Βοιωτῶν ἐν τῆι Καδμείαι συνεκάθιζεν. (XII) ἐν δὲ ταῖς Θήβαις ἔτυχον οἱ βέλτιστοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ γνωριμώτατοι τῶν πολιτῶν, ὥσπερ καὶ πρότερον εἴρηκα, στασιάζοντες πρὸς ἀλλήλους. ἡγοῦντο δὲ τοῦ μέρους τοῦ μὲν Ἰσμηνίας καὶ Ἀντίθεος καὶ Ἀνδροκλῆς, τοῦ δὲ Λεοντιάδης καὶ Ἀσίας καὶ Κοιρατάδας. ἐφρόνουν δὲ τῶν πολιτευομένων οἱ μὲν περὶ τὸν Λεοντιάδην τὰ Λακεδαιμονίων, οἱ δὲ περὶ τὸν Ἰσμηνίαν αἰτίαν μὲν εἶχον ἀττικίζειν, ἐξ ὧν πρόθυμοι πρὸς τὸν δῆμον ἐγένοντο ὡς ἔφυγεν· οὐ μὴν ἐφρόν||[τιζον] τῶ[ν Ἀ]θηναίων, ἀλλ' εἶχ[ον ............... ] . π[ ...... ]έσχον, ἐπεὶ τοὺ[ς ................ ] .... πρ[οηι]ροῦντο μᾶλλ[ον ............... ]ες κακῶς ποιεῖν ἑτοίμους α[ ...... ἀττικί]ζειν. (2) διακειμένων δὲ τῶν ἐν [Θήβαις οὕτως κ]αὶ τῆς ἑταιρείας ἑκατ[έρ]ας ἰσχ[υούσης, ἔπει]τα προῆλθον πολλοὶ καὶ τῶν ἐν ταῖς [πόλεσι κατ]ὰ τὴν Βοιωτίαν καὶ μετέσχον ἑκ[ατέρου τῶν μερ]ῶν ἐκείνοις. ἐδύναντο δὲ τ[ότε μὲν καὶ μικ]ρῶι πρότερον οἱ περὶ τὸν Ἰσμη[νίαν καὶ τὸ]ν [Ἀνδ]ροκλείδην καὶ παρ' αὐτοῖς τοῖ[ς Θηβαίοις κ]αὶ [παρὰ] τῆι βουλῆι τῶν Βοιωτῶν, ἔμπρ[οσθεν δὲ] προ[εῖχο]ν οἱ περὶ τὸν Ἀστίαν καὶ Λεοντ[ιάδην. χρόνον δέ τι]να συχνὸν καὶ τὴν πόλιν διὰ κ[ράτους εἶ]χον. (3) [ὅτ]ε γὰρ πολεμοῦντες οἱ Λακεδαιμ[όνιοι τοῖς] Ἀ[θην]αίοις ἐν Δεκελείαι διέτριβον καὶ στρ[άτε]υ[μ]α τ[ῶ]ν α[ὑ]τῶν συμμάχων πολὺ συνεῖχον, οὗτοι μᾶλλον ἐδυνάστευον τῶν ἑτέρων ἅμα μὲν τῶι πλησίον εἶναι τοὺς Λακεδαιμονίους, ἅμα δὲ τῶι πολλὰ τὴν πόλιν εὐεργετεῖσθαι δι' αὐτῶν. ἐπ[έδοσαν δ' οἱ] Θηβαῖοι πολὺ πρὸς εὐδαιμονίαν ὁλόκλ[ηρον ε]ὐθέως ὡς ὁ πόλεμος τοῖς Ἀθηναίοις [ἐνέστη καὶ] τοῖς Λακεδαιμονίοις· ἀρξαμένων γὰρ ἀπ[ειλ]εῖν τῶν Ἀθηναίων τῆι Βοιωτίαι

2a,66,F 1 (300) συνωικίσθησαν [εἰ]ς αὐτὰς οἵ τ' ἐξ Ἐρυθρῶν καὶ Σκαφῶν καὶ Σκώλου κα[ὶ Αὐ]λί δος καὶ Σχοίνου καὶ Ποτνιῶν καὶ πολλῶν ἑτέρων τοιούτων χωρίων, ἃ τεῖχος οὐκ ἔχοντα διπλασίας ἐποίησεν τὰς Θήβας. (4) οὐ μὴν ἀλλὰ πολύ γε βέλτιον ἔτι τὴν πόλιν πρᾶξαι συνέπεσεν ὡς τὴν Δεκέλειαν ἐπετείχισαν τοῖς Ἀθηναίοις μετὰ τῶν Λακεδαιμονίων· τά τε γὰρ ἀνδράποδα καὶ τὰ λοιπὰ παντ[ὰ 〈τὰ〉 κατὰ τὸ]ν πόλεμον ἁλισκόμενα μικροῦ τιν[ος ἀργυρίο]υ παρελάμβανον, καὶ τὴν ἐκ τῆς Ἀττικῆ[ς κ]ατα[σ]κευὴν ἅτε πρόσχωροι κατοικοῦντες ἅπασαν μετεκόμισαν ὡς αὑτούς, ἀπὸ τῶν ξύλων καὶ τοῦ κεράμου τοῦ τῶν οἰκιῶν ἀρξάμενοι. (5) τότε δὲ τῶν Ἀθηναίων ἡ χώρα πολυτελέστατα τῆς Ἑλλάδος κατεσκεύαστο· ἐπεπόνθει γὰρ μικρὰ κακῶς ἐν ταῖς ἐμβολαῖς ταῖς ἔμπροσθεν ὑπὸ τῶν Λακεδαιμονίων, ὑπὸ δὲ τῶν Ἀθηναίων οὕτως ἐξήσκητο καὶ διεπεπόνητο κα||[θ' ὑπε]ρβολὴν [ὥστε εὐτελὲς μη]δὲν παρ' αὐτοῖς ἐπα[ύλιον, κατο]ικήσει[ς δὲ καὶ κάλλιον ὠι]κοδομημένας ἢ πα[ρὰ το]ῖς ἄλλοις [εἶναι· ἕκαστος] γὰρ αὐτῶν ἃ πα[ρὰ τῶ]ν Ἑλλήν[ων πολεμοῦντες] ἐλάμβανον εἰς τοὺ[ς ἰδίους] ἀγροὺς ἀ[νήγαγε. τὰ μὲν ο]ὖν πράγματα τὰ κατὰ τὰς Θήβας καὶ τ[ὴν Βοιωτίαν ἦν] οὕτως. (XIII) οἱ δὲ περὶ τὸν Ἀνδροκλείδαν κα[ὶ τὸν Ἰσμηνίαν ἐ]σπούδαζον ἐκπολεμῶσαι τὸ ἔθνος [πρὸς τοὺς Λακεδα]ιμονίους, βουλόμενοι μὲν καταλῦσαι τ[ὴν ἀρχὴν αὐτῶ]ν, ἵνα μὴ διαφθαρῶσιν ὑπ' ἐκείνων διὰ [τοὺς λακων]ίζοντας, οἰόμενοι δὲ ῥαιδίως τοῦτο πρ[άξειν ὑπολα]μβάνοντες βασιλέα χρήματα παρέξε[ιν, ὅπερ ὁ] παρὰ τοῦ βαρβάρου πεμφθεὶς ἐπηγγέλλετο, 〈τοὺς δὲ〉 [Κορινθίου]ς καὶ τοὺς Ἀργείους καὶ τοὺς Ἀθηναίους μεθέ[ξειν τοῦ] πολέμου· τούτους γὰρ ἐχθροὺς τοῖς Λακεδαιμ[ονίοις ὄ]ντας αὐτοῖς συμπαρα[σκ]ευάσειν τοὺς ὁπλίτας. (2) [δ]ιανοηθέντες δὲ ταῦτα περὶ τῶν πραγμάτων ἐνόμιζον ἀπὸ μὲν τοῦ φανεροῦ χαλεπῶς ἔχειν ἐπιτίθεσθαι τούτοις· οὐδέποτε γὰρ οὔτε Θηβαίους οὔτε τοὺς ἄλλους Βοιωτοὺς πεισθήσεσθαι πολεμεῖν Λακεδαιμονίοις ἄρχουσι τῆς Ἑλλάδος. ἐπιχειροῦντες δὲ διὰ ⟦ ταύτης τῆσ ⟧ ἀπάτης προάγειν εἰς τὸν πόλεμον αὐτούς, ἀνέπεισαν ἄνδρας τινὰς Φωκέων ἐμβαλεῖν εἰς τὴν Λοκρῶν τῶν Ἑσπερίων καλουμένων, οἷς ἐγένετο τῆς ἔχθρας αἰτία τοιαύτη. (3) ἔστι τοῖς ἔθνεσιν τούτοις ἀμφισβητήσιμος χώρα περὶ τὸν Παρνασσόν, περὶ ἧς καὶ πρότερόν ποτε πεπολεμήκασιν· ἣν πολλάκις ἐπινέμουσιν ἑκάτεροι τῶν τε Φωκέων καὶ τῶν Λοκρῶν, ὁπότεροι δ' ἂν τύχωσιν αἰσθόμενοί ποτε 〈τοὺσ〉 ἑτέρους συλλεγέντες πολλοὶ διαρπάζουσι τὰ πρόβατα. πρότερον μὲν οὖν πολλῶν τοιούτων ἀφ' ἑκατέρων γινομένων ἀεὶ μετὰ δίκης τὰ πολλὰ καὶ λόγων διελύοντο πρὸς ἀλλήλους· τότε δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν Λοκρῶν ἀνθαρπασάντων ἀνθ’ ὧν ἀπέβαλον προβάτων εὐθὺς οἱ Φωκεῖς, παροξυνόντων αὐτοὺς ἐκείνων τῶν ἀνδρῶν, ο[ὓς οἱ] περὶ τὸν Ἀνδροκλείδαν καὶ τὸν Ἰσμηνίαν παρεσκεύασαν, εἰς τὴν Λοκρίδα μετὰ τῶν ὅπλων ἐνέβαλον. (4) οἱ δὲ Λοκροὶ δῃουμένης τῆς χώρας πέμψαντες πρέσβεις εἰς Βοιωτοὺς κατηγορίαν ἐποιοῦντο τῶν Φωκέων καὶ βοηθεῖν ἐκείνους αὐτοῖς [ἠξίο]υν· διάκεινται δὲ πρὸς αὐτοὺς ἀεί ποτε φιλίως. || [ἁρπ]άσαντες δὲ τὸν καιρὸν ἀσμ[ένως μάλα οἱ περὶ τὸν Ἰσ]μηνίαν καὶ τὸν Ἀνδροκλε[ίδαν ἔπεισαν τοὺς Βοι]ωτοὺς βοηθεῖν τοῖς Λοκροῖς. Φω[κεῖς δέ, ἀγγελθέντ]ων αὐτοῖς τῶν ἐκ τῶν Θηβῶν τ[ότε μὲν ἐκ τῆς Λοκρίδος π]άλιν ἀνεχώρησαν, πρέσβεις δ[ὲ παραχρῆμα πέμψαν]τες πρὸς Λακεδαιμονίους ἠξίουν ἐκ[είνους ἀπει]πεῖν Βοιωτοῖς εἰς τὴν αὐτῶν βαδί[ζειν. οἱ δὲ καίπερ] λέγειν αὐτοὺς νομίσαντες ἄπιστα [ὅμως πέμψαντες] οὐκ εἴων τοὺς Βοιωτοὺς πόλεμον ἐκ[φέρειν πρὸς τοὺς] Φωκέας, ἀλλ’ εἴ τι ἀδικεῖσθαι νομίζουσ[ι δίκην λαμ]βάνειν παρ’ αὐτῶν ἐν τοῖς συμμάχοις [ἐκέλευον. οἱ δὲ πα]ροξυνόντων αὐτοὺς τῶν καὶ τὴν ἀπ[άτην καὶ τὰ πρά]γματα ταῦτα συστησάντων,
2a,66,F 1 (359) τοὺς μὲν [πρέσβεις τοὺς] τῶν Λακεδαιμονίων ἀπράκτους ἀπέστε[ιλαν, αὐτοὶ δὲ] τὰ ὅπλα λαβόντες ἐβάδιζον ἐπὶ τοὺς Φωκέ[ας. (5) ἐμβα]λόντες δὲ διὰ ταχέων εἰς τὴν Φωκίδα καὶ πορθήσαντες τήν τε τῶν Παραποταμίων χώραν καὶ Δαυλίων καὶ Φανοτέων ἐπεχείρησαν ταῖς πόλεσι προσβάλλειν· καὶ Δαυλίαι μὲν προσελθόντες ἀπεχώρησαν αὖθις οὐδὲν ποιήσαντες, ἀλλὰ καὶ πληγὰς ὀλίγας λαβόντες, Φανοτέων δὲ τὸ προάστιον κατὰ κράτος εἷλον. διαπραξάμενοι δὲ ταῦτα προῆλθον εἰς τὴν Φωκίδα, καταδραμόντες δὲ μέρος τι τοῦ πεδίου 〈τοῦ〉 περὶ τὴν Ἐλάτειαν καὶ τοὺς Πεδιέας καὶ τοὺς ταύτηι κατοικοῦντας ἀπῄεσαν. ποιουμένων δὲ τὴν ἀποχώρησιν αὐτῶν ⟦ πρὸς ⟧ παρ’ Ὑάμπολιν ἔδοξεν αὐτοῖς ἀποπειρᾶσθαι τῆς πόλεως· ἔστι δὲ τὸ χωρίον ἐπ〈ι〉εικῶς ἰσχυρόν. προσβαλόντες δὲ τοῖς τείχεσι καὶ προθυμίας οὐδὲν ἐλλιπόντες ἄλλο μὲν οὐδὲν ἔπραξαν, ἀποβαλόντες δὲ τῶν στρατιωτῶν ὡς ὀγδοήκοντα πάλιν ἀνεχώρησαν. Βοιωτοὶ μὲν οὖν τοσαῦτα κακὰ ποιήσαντες τοὺς Φωκέας ἀπῆλθον εἰς τὴν ἑαυτῶν. (XIV) Κόνων δέ, παρειληφότος ἤδη Χειρικράτους τὰς ναῦς τὰς τῶν Λακεδαιμονίων καὶ τῶν συμμάχων, ὃς ἀφίκετο ναύαρχος διάδοχος τῶι Πόλλιδι, συμπληρώσας εἴκοσι τῶν τριήρων ἀναγόμενος ἐκ τῆς Ῥόδου κατέπλευσεν εἰς Καῦνον. βουλόμενος δὲ συμμεῖξαι τῶι Φαρναβάζωι καὶ τῶι Τιθραύστηι καὶ χρήματα λαβεῖν ἀνέβαινεν ἐκ τῆς Καύνου πρὸς αὐτούς. (2) ἐτύγχανε δὲ τοῖς στρατιώ||ταις κατὰ τοῦτον τὸν χρόνον προσοφειλόμενος μισθὸς πολλῶν μηνῶν· ἐμισθοδοτ[οῦ]ντο γὰρ ὑπὸ τῶν στρατηγῶν κακῶς, ὃ ποιεῖν ἔθ[ος] ἐστὶν ἀεὶ τοῖς πολεμοῦσιν ὑπὲρ βασιλέως, ἐπε[ὶ 〈καὶ〉 κα]τὰ τὸν Δεκελεικὸν πόλεμον, ὁπότε σύμμαχοι Λακεδαιμονίοι〈σ〉 ἦσαν, κομιδῆι φαύλως καὶ γλισχρῶς παρείχοντο χρήματα, καὶ πολλάκις ἂν κατελύθησαν αἱ τῶν συμμάχων τριήρεις, εἰ μὴ διὰ τὴν Κύρου προθυμίαν. τούτων δὲ βασιλεὺς αἴτιός ἐστιν, ὃς ἐπειδὰν ἐνστήσηται πόλεμον καταπέμψας κατ’ ἀρχὰς ὀλίγα χρήματα τοῖς ἄρχουσιν ὀλιγωρεῖ τὸν ἐπίλοιπον χρόνον, οἱ δὲ τοῖς πράγμασιν ἐφεστῶτες οὐκ ἔχοντες ἀναλίσκειν ἐκ τῶν ἰδίων πε[ριορῶ]σιν ἐνίοτε καταλυομένας τὰς αὐτῶν [δυνά]μεις. (3) ταῦτα μὲν οὖν οὕτως συμβαίνειν εἴωθε, Τιθραύστης δέ, παραγενομένου τοῦ Κόνωνος ὡς αὐτὸν καὶ λέγοντος ὅτι κινδυνεύσει συντριβῆναι τὰ πράγματα διὰ χρημάτων ἔνδειαν οἷς τοὺς ὑπὲρ βασιλέως πολεμοῦντας οὐκ εὐλόγως ἔχειν ἀπαγορεύειν, ἀποστέλλει τινὰς τῶν μεθ’ αὐτοῦ βαρβάρων, ἵνα μισθὸν δῶσι τοῖς στρατιώταις, ἔχοντας ἀργυρίου τάλαντα διακόσια καὶ εἴκοσι〈ν〉. ἐλήφθη δὲ τοῦτο 〈τὸ〉 ἀργύριον ἐκ τῆς οὐσίας τῆς Τισσαφέρνους. Τιθραύστης μὲν οὖν ἔτι περιμείνας ὀλίγον χρόνον ἐν ταῖς Σάρδεσιν ἀνέβαινεν ὡς βασιλέα, καταστήσας στρατηγοὺς ἐπὶ τῶν πραγμάτων Ἀριαῖον καὶ Πασιφέρνη καὶ παραδοὺς αὐτοῖς εἰς τὸν πόλεμον τὸ καταλειφθὲν ἀργύριον καὶ χρυσίον, ὅ φασι φανῆναι περὶ ἑπτακόσια τάλαντα. (XV) τῶν δὲ Κυπρίων οἱ μετὰ τοῦ Κόνωνος καταπλεύσαντες εἰς τὴν Καῦνον, ἀναπεισθέντες ὑπό τινων διαβαλλόντων ὡς αὐτοῖς μὲν οὐ μέλλουσιν ἀποδιδόναι τὸν μισθὸν τὸν ὀφειλόμενον,

παρασκευάζονται δὲ διαλύσ[ει]ς μόνον ταῖς ὑπηρεσίαις καὶ τοῖς ἐπιβάταις, χαλεπῶς ἔφερον, καὶ συνελθόντες εἰς ἐκκλησίαν εἵλοντο στρατηγὸν αὑτῶν ἄνδρα Καρπασέα τὸ γένος καὶ το[ύτ]ωι φυλακὴν ἔδοσαν τοῦ σώματος δύο σ[τρατι]ώτας ἀφ’ ἑκάστης ||
[νεὼς ............... ]ιπ[ ............ ]ν [ ........... ]κνα .. [ .. ]των [ ......... .... ........... ] τὸν Κόνωνα
[ ............. ............ ] ὡς ἐτύγχανε. [ ...... ]υσ[ ...... ............ ]εραιει κατελ[ ..... Κό]νωνος .
[ ... ......... ... ]γετο περὶ τῶ[ν .. ] . ων. (2) Κόνων δὲ σι[ω πῆι διακούσας α]ὐτῶν τ[οὺς λόγο]υς οὐκ εἴα πιστεύειν [ ........... ]εκλ[ . ]σ[ ... τῶν] Ἑλλήνων, ἀλ[λ]ὰ
2a,66,F 1 (400) πάν[τας ἔφη τὸν μισθὸν ἀπὸ τῆς ἴση]ς κομιεῖσθαι· ταύτην [δὲ τὴν ἀπόκρισιν ποιησάμενος] ἔφασκεν βούλεσθαι [δ]ια[δηλῶσαι καὶ τοῖς ἄλλο]ις· ὁ δὲ στρατηγὸς ὁ τῶν [Κ]υπρ[ίων ὁ Καρπα]σε[ὺς αὐτῶι] πρὸς τὸ πλῆθος τὸ τῶν στρατιω[τῶν ἐπη]κολο[ύθει. (3) ἐ]κείν[ο]υ δὲ συνεξορμήσαντος, ἐπε[ιδὴ πορ]ευόμενοι κατὰ τὰς πύλας ἦσαν, ὁ μὲν Κόνων [ὥσπερ] ἔτυχεν ἡγ[ού]μενος ἐξεληλύθει πρότερος ἐκ τ[οῦ] τείχους, τοῦ δὲ ἀ[νθ]ρώπου τοῦ Καρπασέως, ὡς ἦν ἐξιὼν κατὰ τὰς πύλας, ἐπιλαμβάνονται τῶν Μεσσηνίων τινὲς τῶν Κόνωνι παρακολουθεῖν εἰωθότων οὐ μετὰ τῆς ἐκείνου γνώμης, ἐπιθυμοῦντες ἐν τῆι πόλει κατασχεῖν αὐτὸν ὅπως ἂν ὧν ἐξήμαρτεν δῶι δίκην. οἱ δὲ συνακολουθο[ῦντ]ες τῶν Κυπρίων ἀντελαμβάνοντο τ[οῦ Καρπασέ]ως καὶ διεκώλυον τοὺς Μεσση[νίους] ἄγει[ν αὐτόν· α]ἰσθανόμενον δὲ καὶ τὸ τῶν ἔξ[ω Κυπρ]ίων [πλῆθος ἐπ]εβοήθει τῶι στρατηγῶι. ὁ δὲ Κόνων [ὁρῶν ὑ]πε[ρέχοντας] τού[ς] ἀνθρώπους εἰσπηδήσας [συνεισπίπτειν ἐκώλ]υσεν εἰς τὴν πόλιν· οἱ δὲ Κύπριοι τ[οὺς Μεσσηνίους τοὺ]ς ἁψαμένους τοῦ Καρπασέω[ς βά]λλ[οντες ἀπέκρο]υσαν, αὐτοὶ δὲ πεπεισμένοι πάντα π[αρὰ τὰς συνθήκας τ]ὸν Κόνωνα παρεσκευάσθαι περ[ὶ τὴν τοῦ μισθοῦ] διάδοσιν ε[ἰσέ]β[αι]νον εἰς τὰς τρ[ιήρ]εις ἐπ[ὶ ταύταις τ]αῖς πράξεσιν, ὥς γέ τινες ἔλεγον, [μ]έλλον[τες τοὺς ἐκ] τῆς Ῥόδου παραλαβόντες εἰς Κύπρον πλε[ῖν. (4) κυρι]εύσαντες (?) δὲ τῆς α λαν[ .. ]νιοιου καὶ παρακ[αλέσαν]τες τοὺς βουλομέ[νους τῶν Κ]υπρίων, βαδί[ζουσιν] πρὸς τὴν ἀκρόπο[λιν ἵνα τὴ]ν ἀρχὴν τ[οῦ Κόνωνος] καταλύσωσιν ὡς [αἰτίου γενομέ]νου πάν[των αὐτοῖς τῶ]ν κακῶν, ὁμοί[ως δὲ ........ π]οιησ[ ............. ]ν αὐτοῖς εἰς [ ..... .... ὑπηρ]εσία [ .............. ] τῶν λόγων [——]ν[ . ] τὴν || πόλιν τη [—— ἀ]ποπλεύσαν τες ἀπὸ τῆς α[——] β[ουλό]μενοι χρήσασθαι τοῖς αὐτ[όθι σκεύεσι τῶν] τριήρων. (5) Κόνων δὲ κατηγμέ[νων τῶν Κυπρίων] ἐλθὼν πρὸς Λεώνυμον τὸν τ[ῶν πεζῶν ὕπαρχον εἶ]π[ε]ν αὐτῶι ὅτι μόνος δύναται τ[ὰ πράγματα σῶσαι] τ[ὰ βα]σιλέως· εἰ γὰρ αὐτῶι βούλεται δ[ιδόναι τοὺς φρο]υροὺς τοὺς [Ἕλ]ληνας, οἳ τὴν Καῦνον [φυλάττουσι καὶ] τῶν Καρῶν ὡς πλείστους, παύσει[ν ἤδη τὴν ἐν τῶι στ]ρατοπέδωι ταραχήν. κελεύσαντος δ[ὲ τοῦ Λεωνύμ]ου λαμβάνειν ὁπόσους βούλεται στρατ[ιώτας, ταύτ]ην μὲν τὴν ἡμέραν παρῆκεν—καὶ γὰρ ἥ[λιος ἦν ἤ]δη περὶ δυσμάς— εἰς δὲ τὴν ἐπιοῦσαν πρὶν ἡμ[έραν γ]ενέσθαι λαβὼν παρὰ τοῦ Λεωνύμου τῶν τε [Καρῶν] συχνοὺς καὶ τοὺς Ἕλληνας ἅπαντας ἐξήγαγεν αὐτοὺς ἐκ τῆς πόλεως. ἔπειτα τοὺς μὲν [ἔξ]ωθεν αὐτοῦ τοῦ στρατοπέδου περιέστησεν, τοὺς [δὲ παρ]α[γαγὼ]ν πρός τε τὰς ναῦς καὶ τὸν αἰγιαλὸν [διετάξατο. τα]ῦτα δὲ πο 〈ι〉 ήσας καὶ κελεύσας κηρῦξαι τ[ὸν κήρυκα βαί]νειν ἕκαστον τῶν στρατιωτῶν ἐπὶ τὴ[ν ἑαυτοῦ, συ]νέλαβε τῶν Κυπρίων τόν τε Καρπασέ[α καὶ τῶν ἄλ]λων ἑξήκοντα, καὶ τοὺς μὲν ἀπέκτειν[ε, τὸν δὲ στρα]τηγὸν ἀνεσταύρωσεν. (6) ἀκούσαντες δ[ὲ τὰ ἐκεῖθεν ο]ἱ καταλειφθέντες ἐν τῆι Ῥόδωι 〈δι〉 ηγανάκτ[ουν, καὶ βαρέ]ως ἐνεγκόντες τοὺς μὲν ἄρχοντας τοὺς [ὑπὸ τοῦ Κόνω]νος καταστάντας βάλλοντες ἐξήλασ[αν ἐκ τοῦ] στρατοπέδου, τὸν δὲ λιμένα καταλιπόν[τες πολὺν] θόρυβον καὶ ταραχὴν παρέσχον τοῖς Ῥοδ[ίοις. ὁ δὲ Κό]νων ἀφικόμενος ἐκ τῆς Καύνου τούς τ[ε ἄρχοντ]ας αὐτῶν συλλαβὼν ἀπέκτεινε καὶ τοῖς ἄλλ[οις μισθὸ]ν διέδωκε. τὸ μὲν οὖν βασιλικὸν στρατό[πεδον οὕτ]ως εἰς μέγαν κίνδυνον προελθὸν διὰ Κόνων[α καὶ] τὴν ἐκείνου προθυμίαν ἐπαύσατο τῆς ταραχῆς. (XVI) Ἀγησίλαος δὲ παραπορευόμενος εἰς τὸν Ἑλλήσποντον ἅμα τῶι στρατεύματι τῶν Λακεδαιμονίων καὶ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συμμάχων ὅσον μὲν χρόνον ἐβάδιζε διὰ τῆς Λυδίας οὐδὲν κακὸν ἐποί[ει τοὺς] ἐνοικοῦντας, βουλόμενος ἐμμένειν ταῖς σπονδαῖς ταῖς πρὸς Τιθραύστην γενομέναις. ἐπειδὴ δὲ

2a,66,F 1 (450) κα[τ]ῆρεν εἰς τὴν χ[ώραν] τὴν Φαρναβάζου, προῆγε τὸ || στράτευμα λεηλατῶν καὶ πορθῶν τὴ[ν γῆν. ἐπειδὴ] δὲ παραλλάξας τό τε Θήβης πεδίον καὶ τ[ὸ Ἀπίας] καλούμενον εἰσέβαλεν εἰς τὴν Μυσία[ν, ἐνέκει]το τοῖς Μυσοῖς κελεύων αὐτοὺς συστρ[ατεύειν με]τ' αὐτῶν· εἰσὶ γὰρ οἱ πολ[λ]οὶ τῶν Μυσῶν αὐ[τόνομοι καὶ] βασιλέως οὐχ ὑπακούοντες. ὅσοι μὲν οὖν τῶν Μυσῶν μετέχειν ἠιροῦντο τῆς στρατείας [οὐδὲν ἐ]ποίει κακὸν αὐτούς, τῶν δὲ λοιπῶν ἐδήι[ου τὴν χώ]ραν. (2) ἐπειδὴ δὲ προιὼν ἐγένετο κατὰ μέσο[ν μάλι]στα τὸν Ὄλυμπον τὸν Μύσιον καλούμεν[ον, ὁρῶν] χαλεπὴν καὶ στενὴν οὖσαν τὴν δίοδον [καὶ βου]λόμ[ενος] ἀσφαλῶς πορευθῆναι δι' αὐτῆς, πέμψας τινὰ [πρὸ]ς τ[οὺς Μ]υσοὺς καὶ σπεισάμενος πρὸς αὐτοὺς ἦ[γε τὸ] σ[τράτ]ευμα διὰ τῆς χώρας. παρέντες δὲ τὸ [πλῆθος τῶν Π]ε[λ]οποννησίων καὶ τῶν συμμάχ[ων, ἐπιθέμενοι τ]οῖς τελευταίοις αὐτῶν καταβάλλ[ουσί τινας τ]ῶν στρατιωτῶν ἀτάκτων διὰ τὰς στ[ενοχωρίας ὄντ]ων. Ἀγησίλαος δὲ καταζεύξας τ[ὸ στράτευμα τα]ύτην τὴν ἡμέραν ἡσυχίαν ἦ[γε ποιῶν τὰ νο]μ[ιζ]όμενα τοῖς ἀποθανοῦσι—διεφθάρησαν δὲ περὶ πεντήκοντα τῶν στρατιωτῶν—, εἰς δὲ τὴν ἐπιοῦσαν καθίσας εἰς ἐνέδραν πολλοὺς τῶν μισθοφόρων τῶν Δερκυλιδείων καλουμένων ἀναστὰς προῆγε τὸ στράτευμα πάλιν. τῶν δὲ Μυσῶν οἰηθέντες ἕκαστοι διὰ τὴν πληγὴν τὴν τῆι προτερα[ίαι γενο]μένην ἀπιέναι τὸν Ἀγησίλαον ἐξελθόντες ἐκ τῶν κωμῶν ἐδίωκον, ὡς ἐπιθησόμενοι τοῖς τελευταίοις τὸν αὐτὸν τρόπον. οἱ δὲ τῶν Ἑλλήνων ἐν[εδρεύ]οντες, ὡς ἦσαν κατ' αὐτούς, ἐκπηδήσαντες ἐκ τῆς ἐνέδρας εἰς χεῖρας ἤιεσαν τοῖς πολεμίοις. τῶν δὲ Μυσῶν οἱ μὲν ἡγούμενοι καὶ πρῶτοι διώκοντες ἐξαίφνης τοῖς Ἕλλησι συμμείξαντες ἀποθνήισκουσιν, οἱ δὲ πολλοὶ κατιδόντες τοὺς πρώτους αὐτῶν ἐν πληγαῖς ὄντας ἔφευγον πρὸς τὰς κώμας. Ἀγησίλαος δὲ προσαγγελθέντων αὐτῶι τούτων μετα[βαλόμε]νος ἀπῆγε τὸ στράτευμα πάλιν τὴν αὐτὴν [ὁδὸν ἕ]ως συνέμειξε τοῖς ἐν ταῖς ἐνέδραις καὶ κατεσκήνωσεν εἰς τὸ στρατόπεδον ἧι καὶ τῆι προτέραι κατεστρατοπέδευσεν. (3) μετὰ δὲ ταῦτα τῶν || μὲν Μυσῶν ὧν ἦσαν [οἱ ἀποθανόντες ἕκαστοι κή]ρυκας πέμψαντες α ................ ἀνείλον]το τοὺς νεκροὺς ὑ[ποσπόνδους· ἀπέθανον δὲ πλείους] ἢ τριάκοντα καὶ ἑ[κατόν. Ἀγησίλαος δὲ λαβὼν ἐκ τῶν] κωμῶν τινας καθ[ηγεμόνας καὶ ἀναπαύσας τρεῖς] ἡμέρας τοὺς στρ[ατιώτας ἦγεν εἰς] τὸ πρόσθεν τὸ στράτευμα, καὶ καταβιβάσας [εἰς τὴ]ν χώραν τῶν Φρυγῶν, οὐκ εἰς ἣν τοῦ προτέρου θέρους ἐνέβαλεν, ἀλ[λ' ε]ἰς ἑ[τέ]ραν 〈οὖσαν〉 ἀπόρθητον, κακῶς αὐτὴν ἐποίει, Σπιθραδάτην ἔχων ἡγεμόνα καὶ τὸν ὑόν. (4) ὁ δὲ Σπιθραδάτης τὸ μὲν γένος ἦν Πέρ[σης, δι]ατρίβων δὲ παρὰ τῶι Φαρναβάζωι καὶ θεραπεύων [αὐτό]ν, ἔπει[τα δὲ εἰς] ἔχθραν καταστὰς πρὸς αὐτόν, φοβηθεὶς μὴ καταληφθῆι καὶ κακόν τι πάθηι, παραυτίκα μὲν ἀπέ[φυγεν] εἰς Κύζικον, ὕστερον δὲ ὡς Ἀγησίλαον ἧ[κεν ἄ]γων Μεγαβάτην ὑὸν νέον ὄντα καὶ καλόν. Ἀγησίλαος δὲ τούτων γενομένων ἀνέλαβεν αὐτοὺς μάλιστα μὲν ἕνεκα τοῦ μειρακίου—λέγεται γὰρ ἐπιθυμητικῶς αὐτοῦ σφόδρα ἔχειν—ἔπειτα δὲ καὶ διὰ Σπιθραδάτην, 〈ἡγούμενοσ〉 ἡγεμόνα τε τῆς στρατιᾶς αὐτοῖς ἔσεσθαι καὶ [πρὸς] ἄλλα χρήσιμον. (5) ἐκείνους μὲν οὖν τούτων ἕνεκα ὑπεδέξατο προθύμως, αὐτὸς δὲ προάγων εἰς τὸ πρόσθεν ἀεὶ τὸ στράτευμα καὶ λεηλατῶν τὴν τοῦ Φαρναβάζου χώραν ἀφικνεῖται πρὸς χωρίον ὃ καλεῖται Λεόντων Κεφαλαί. καὶ ποιησάμενος πρὸς αὐτὸ προσβολάς, ὡς οὐδὲν ἐπέραινεν, ἀναστήσας τὸ στράτευμα προῆγεν εἰς τὸ πρόσθε πορθῶν καὶ λεηλατῶν τῆς χώρας τὴν ἀκέραιον. (6) ἀφικόμενος δὲ πάλιν πρὸς Γορδ〈ί〉ειον, χωρίον ἐπὶ χώματος ᾠκοδομημένον καὶ κατεσκευασμένον καλῶς, καὶ καταζεύξας τὸ στράτευμα περιέμενεν ἓξ ἡμέρας, πρὸς μὲν τοὺς πολεμίους

2a,66,F 1 (500) προσβολὰς ποιούμενος, τοὺς δὲ στρατιώτας ἐ[πὶ π]ολλοῖς ἀγαθοῖς συνέχων. ἐπειδὴ δὲ βιάσασθαι τὸ χωρίον οὐκ ἠδύνατο διὰ τὴν Ῥαθάνου προθυμίαν, ὃς ἐπῆρχεν αὐτοῦ Πέρσης ὢν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ γένος, ἀναστήσας ἦγεν ἄνω τοὺς στρατιώτας, κελεύοντος τοῦ Σπιθριδάτου εἰς Παφλαγονίαν πορεύεσθαι. (XVII) μετὰ δὲ ταῦτα προάγων τοὺς Πελοποννησίους καὶ τοὺς συμμά||χους π[ρὸς τὰ ὅρια τῆς Φρυ]γίας καὶ τῆς Παφλαγονίας ἐκε[ῖ τὸ στράτευμα κατεσ]τρατοπέδευσε, τὸν δὲ Σπιθριδάτη[ν πρὸς Γύην ἔπεμψε]ν· ὁ δὲ πορευθεὶς καὶ πείσας ἐκεῖ[νον ἧκε πρέσβεις] ἄγων. (2) Ἀγησίλαος δὲ ποιησάμενος [σπονδὰς ἐκ τῆς τῶ]ν Παφλαγόνων ἀπήγα[γε] διὰ ταχ[έων τὴν στρατιὰν ἐπὶ θ]άλατταν, φοβούμενος μὴ χειμῶν[ος τῆς τροφῆς ἐνδέ]ωσιν. ἐποιεῖτο δὲ τὴν πορείαν οὐκέτ[ι τὴν αὐτὴν ὁδὸν ἥν]περ ἦλθεν ἀλλ' ἑτέραν, ἡγούμενος διὰ [τῆς Βιθυνίδος] διεξιο[ῦσι ἀκο]πωτέρως ἔσεσθαι τοῖς σ[τρατιώταις. ἀπέσ]τειλε [δὲ] . ιτ[ .. ]ρ[ . ]υ [ ... ] αὐτῶι Γύης το[ ............ ... ]ντ .. των[ ...... ] ἱππέας μ[ὲν περὶ χιλί]ους, πεζοὺς δὲ πλείου[ς δισχι]λ[ί]ων. (3) καταγ[αγὼν δὲ τὸ στρ]άτευμα κατὰ Κίον τῆς Μυσίας, [πρῶ]τον μ[ὲν περιμείν]ας ἡμέρας αὐτοῦ δέκα κακῶς ἐποίει τοὺς Μυσο[ὺς πάλ]ιν ἀνθ' ὧν ἐπεβούλευσαν αὐτῶι περὶ τὸν Ὄλυμπον, ὕστερον δὲ προῆγε τοὺς Ἕλληνας διὰ τῆς Φρυγίας τῆς παραθαλαττιδίου, καὶ προσβαλὼν πρὸς χωρίον τὸ καλούμενον Μιλήτου Τεῖχος, ὡς οὐκ ἠδύνατο λαβεῖν, ἀπῆγε τοὺς στρατιώτας. ποιούμενος δὲ τὴν πορείαν παρὰ τὸν Ῥύνδακον ποταμὸν ἀφικνεῖται πρὸς τὴν Δασκυλῖτιν λίμνην, ὑφ' ἧι κεῖται τὸ Δα 〈σ〉 κύλειον, χωρίον ὀχυρὸν σφόδρα καὶ κατεσκευασμένον ὑπὸ βασιλέως, οὗ καὶ τὸν Φαρνάβαζον ἔλεγον ἀργύριον ὅσον ἦν αὐτῶι καὶ χρυσίον ἀποτίθεσθαι. (4) κατεστρατοπεδευκὼς δὲ τοὺς στρατιώτας ἐκεῖθι μετεπέμπετο Πάγκαλον, ὃς ἐπιβάτης τῶι ναυάρχωι Χειρικράτει πεπλευκὼς ἐπεμελεῖτο τοῦ Ἑλλησπόντου πέντε τριήρεις ἔχων. [παραγ]ενομένου δὲ τοῦ Παγκάλου διὰ ταχέων καὶ [ταῖς τρ]ι[ή]ρεσιν εἰσπλεύσαντος εἰς τὴν λίμνην, ἐκεῖ[νον μὲν] ἐκέλευσεν ὁ Ἀγησίλαος ἐνθέμενον ὅσα τῶν [διηρπασμ]ένων ἦ 〈ν〉 πλείονος ἄξια διαγαγεῖν εἰς τ[ . ]ον [ . .... περ]ὶ Κύζικον, ὅπως ⟦ αν ⟧ ἀπ' αὐτῶν μισθὸς τῶι [σ]τ[ρατεύματι] γένοιτο. τοὺς δὲ στρατιώτας τοὺς ἀπὸ τῆς Μ[υ]σία[ς ἀπέλυσε πρ]οστάξας αὐτοῖς ἥκειν εἰς τὸ ἔαρ, παρασκευαζόμενος τὸν ἐπιόντα χειμῶνα βαδίζειν εἰς Καππα[δοκίαν, ἀκού]ων ταύτην τὴν χώραν διατείνειν ὥσ[περ ταινία]ν στενήν, ἀρξαμένην ἀπὸ τῆς Ποντικῆς [θαλάττης μ]έχρι Κιλικίας καὶ Φοινίκης, καὶ τὸ μῆκος [αὐτῆς εἶν]αι τοσοῦτο[ν ὥσ]τε τοὺς ἐκ Σινώπης βαδί(ζοντασ)———

Eulogikon public reading copy · View original HTML at eulogikon.org